## ΕΚ ΤΟΥ ΕΒΔΟΜΟΥ ΛΟΓΟΥ

Ἔσσῃ δὲ πρώτη πόλεων, πρώτη δ' ἀ-
πολεῖ σε,
Ἀνδρῶν μὲν χήρη, βιότου δὲ πάμ-
παν ἀδαὴς.
Δῆλε, σὺ μὲν πλεύσεις, καὶ ἐφ' ὕ-
δατος ἄστατος ἔσσῃ,
Κύπρε, σὲ δ' ἐξολέσει γλαυκῆς ποτὲ κῦμα θαλάσσης.
Σικελίη, φλέξει σε τὸ καιόμενον κατὰ σοῦ πῦρ,
Οὐδ' ἀλέγειν τὸ θεοῦ φοβερὸν καὶ ἐπήρατον ὕδωρ.
Νῶε τὶς ἐκ πάντων μοῦνος φυγὰς ἤλυθεν ἀνδρῶν.
Πλεύσει γῆ, πλεύσει δὲ ὄρη, πλεύσει δὲ καὶ αἰθήρ.
Ὕδωρ ἔσται πάντα, καὶ ὕδασι πάντ' ἀπολεῖται.
Στήσονται δ' ἄνεμοι, καὶ δεύτερος ἔσσεται αἰών.
κατὰ Φρυγίας. Ὦ Φρυγίη, πρώτη δ' ἀναλάμψεις ὕδατος ἄκρου,
Πρώτη δ' εἰς ἀσέβειαν ἀπαρνήσῃ θεὸν αὐτὴ,
f. δειλή. Ἄλλοις εἰδώλοις κεχαρισμένη, ὅσσα σε † δήλη
Ἐξολέσει πολλῶν περιτελλομένων ἐνιαυτῶν.
κατὰ Αἰθιόπων. Αἰθίοπες δύστηνοι, ὑπ' ἄλγεα οἰκτρὰ παθόντες,
Ῥομφαίαις πλήξονται ὑπὸ χρόα πεπτηῶτες.
f. βρύουσαν. Τὴν λιπαρὴν Αἴγυπτον ἀεὶ σταχύεσσι † μέλλου-
κατὰ Αἰγύπτου. σαν,
Ἣν Νεῖλος νικητοῖς ὑπὸ κύμασιν ἑπτὰ μεθύσκει,
Ἀλλήλων ἔμφυλος ἐλεήλασις ἔνθεν ἀέλπτως
Ἀνέρες ἐξελάσουσι τὸν οὐ θεὸν ἀνδράσιν Ἆπιν.
f. καυμασίῃσι. Αἶ, αἶ Λαοδίκεια, σὺ δ' οὐ θεὸν οὔποτ' ἰδοῦσα,
Ψεύσῃ τολμηρὴ, καύσει δέ σε † κῦμα λύκοισιν

Αὐ-

## EX LIBRO SEptimo.

VRbes inter eris prima, & te prima necabit
Orba uiris, uerùm non uictus ullius expers.
Dele, natabis tu, perq; undas mobilis ibis.
Cypre, maris uerò te uxoria diruet unda.
Sicilia, exuret te, qui in te exæstuat ignis.
Nec uitare Dei terrorem inamabilis undæ.
Noe quidem uenit fugiens ex omnibus unus.
Nabit humus, nabunt montes, innabit & æther.
Omnia fluctus erit, perdentur & omnia fluctu.
Sed uenti ponent, atq; ætas altera surget.

Hęc confusa sunt, quorum pars est in libro primo.

O Phrygia, in summas undas tu prima micabis:
Prima Deum uerò pulsa pietate negabis,
Gratificans alijs simulachris perdita, quæ te
Perdent, infelix, multis uoluentibus annis.

In Phrygiam.

Aethiopes miseri, lugubria funera paßi,
Cædentur gladijs tremefacto corpore duris.

In Aethiopes.

Aegyptum pinguem, quæ semper floret aristis,
Quam refluens ebriat septeno flumine Nilus,
Mutua ciuilis prædatio. deinde repentè
Eijcient non diuum homines mortalibus Apim.

In Aegyptum.

Eheu Laodicea, Deum neq; uideris unquam,
Et falsum dices audax: æstuq; cremabit
Te ipse Deus magnus genitus, qui sidera multa

Efficiet, mediumq́; axem suspendet in æthra,
Ingentemq́; metum statuet mortalibus, altam,
Vndiq; quam multo circumdabit igne, columnam,
Cuius perdentur homines aspergine sontes.
Nam communis erit rex olim tempus, ibiq́;
Placabunt homines numen, neq; tristia damna
Sedabunt: quorum domus est Dauidica causa.
Conciliauit enim solium Deus ipse, deditq́;
Ipsi. sub pedibus uerò Genij dormibunt,
Quiq; pyras monstrãt, etiã qui flumina monstrãt,
Quiq; urbes seruant, etiam qui flamina mittunt.
Sed multos homines inuadet uita molesta,
Insinuans animis, humanaq́; pectora mutans.
Sed de stirpe nouũ cum germen lumina soluet (τὴν
τὴν ἤϊσιν ἣν ποτὲ πᾶσα τροφὴν διέδωκε περισ•
καὶ τὰ μὲν ἀμφὶ χρόνοις ἔσται πλέον, ἀλλ᾽ ὅταν ἄλλοι
Cum gens Persarum regnabit bellipotentum,
Protinus existent, ob sponsarum improbitatem,
Infandi thalami. nam natum mater habebit,
Inq́; uicem natus peccabit coniuge matre.
Filia succumbens patri ( qui barbariei
Mos est ) huic faciet somnos. sed posterus ipsis
Romanus mauors exurget cuspide multa,
Multamq́; humano fœdabunt sanguine terram.
Tunc Italus fugiet bellator cuspide uictus,
Cælatumq́; auro florem in tellure relinquent.
ἐκ προμολόντα φέρουσ᾽ αἰεὶ σημεῖον ἀνάγκης.

Porrò

Αὐτὸς ὁ γεννηθεὶς ὁ μέγας θεὸς, ἄστρ' ὅσα πολλὰ
Ποιήσει, κρεμάσει δὲ δι' αἰθέρος ἄξονα μέσσον.
Στήσει δ' ἀνθρώποισι μέγαν φόβον ὕψος ἰδέσθαι,
Κίονα μετρήσας μεγάλῳ πυρὶ, οὗ ῥαθάμιγγες
Ανθρώπων ὀλέσουσι γένη κακὰ δηλησαύτων.
Εσται γάρ ποτε κοινὸς ἄναξ χρόνος, ἐνθάδε φῶτες
Εξιλάσουσι θεὸν, ἀλλ' οὐ παύσουσιν ἀνίας
Αχραύτου. δαβὶδ δὲ δι' οἴκου πάντα τελεῖται.
Τῷ γάρ τ' αὐτὸς ἔδωκε θεὸς † χρόνος ἐγγυαλίξας. al. χρόνον.
Οἱ δὲ διαγγελτῆρες ὑπαὶ ποσὶ κοιμήσονται, f. θρόνον.
Οἵ τε πυρὰς φαίνουσι, καὶ οἱ ποταμοῖς φαίνουσιν,
Οἵ τ' ἄστη σώζουσι, καὶ οἳ πέμπουσιν ἀήτας.
Πολλοῖς δ' αὖ χαλεπὸς βίος, † ἀνθρώπων τε πάσσει. f. ἀνθρώποι
Ες δυύων ψυχαῖσι, καὶ ἀλλάσσων φρένας ἀνδρῶν. σιν ἐποίσει.
Αλλ' ὅταν ἐκ ῥίζης βλαστὸς νέος ὄμματα λύσῃ, (σκύ.
Τὴν κτίσιν, ἣν ποτε πᾶσα τροφὴν διέδωκε πόρισ
Καὶ τὰ μὲν ἀμφὶ χρόνοις ἔσται πλέον. ἀλλ' ὅταν ἄλλοι
† Αρξονται, πέρσαι μαχίμων φῦλον αὐτίκα δεινοὶ al. ἄρξωνται
Εσονται θάλαμοι νυμφῶν διὰ δύσνομα φῦλα.
Εξει γὰρ μήτηρ ἑὸν ὑέα, καὶ πόσιν ὑὸς
Μητέρα δηλήσῃ. θυγάτηρ δ' ἐπὶ πατρὶ κλιθεῖσα,
Βάρβαρον ὑπνώσει τοῦτον νόμον. ὕστερα δ' αὐτοῖς
Εκλάμψει ῥωμαῖος ἄρης πολλῆς ἀπὸ λόγχης,
Αἵματι δ' ἀνδρομέῳ πολλὴν χθόνα φυρήσουσιν,
Ιταλίης δὲ πρόμος τότε φσύξεται ἐκ δορὸς ἀλκῆς.
Λείψουσι δ' ἐπὶ γῆς χρυσῷ κεχαραγμένον † ἄνθος, f. ἔγχος.
Εκπρομολόντα, φέρουσ' αἰεὶ σημεῖον ἀνάγκης.

al. ἐκπεσεῖ- Ἔσται μὲν ὅτε πᾶσα κακὴ καὶ δύσμορος οἰκτρῶς
ται. Ἰλιὰς † ἐπίεται τάφον, οὐ γάμον, ἔνθα βαθεῖα
κατὰ τρώ- Κλαύσουσι νύμφαι, ὅτι δὴ θεὸν οὐκ ἐνόησαν,
ων. Ἀλλ᾽ αἰεὶ καὶ τυμπάνοις καὶ κρότοις ἦχον ἔδωκαν.
κατὰ κολο- Μαντεύου Κολοφὼν, μέγα σοι κρέμαται φοβερὸν
φῶνος καὶ πῦρ.
θεσσαλίας. Θεσσαλίη δύσνυμφε, σε δ᾽ ὄψεται οὐκέτι γαῖα,
Οὐδὲ τέφρην, πλεύσῃ τε μόνη φυγὰς ἠπείροιο.
Αὐτοῖς ὦ τλῆμον σκύβαλον πολέμου λυγρὸν ἔσσῃ,
f. ὠκύσι. † Ὠκυσὶ καὶ ποταμοῖς καὶ ῥομφαίαισι πεσοῦσα.
Ὦ τλῆμον γε Κόρινθε. σὺ δ᾽ ἀμφ᾽ αὐτὴν βαρὺν
ἄρην
Δέξῃ δειλαίη, καὶ ἐν ἀλλήλοις ἀπολεῖσθε.
Τύρε, σὺ δ᾽ ἠλίκια λήψῃ μόνη. εὐσεβέων γὰρ
Ἀνδρῶν χώρης εἰς ὀλίγη φανίησε διοίσει.
Ἀσσυρίη κοίλη φοινίκων ὕπατον ἀνδρῶν,
Οἷς ἐπιδρυγομένη κεῖται βαρὺ * ιας ἅλμη.
Τλῆμον οὐκ ἔγνως τὸν σὸν θεὸν, ὅν ποτ᾽ ἔλουσεν
al. ἔπτατο. Ἰορδάνου ἐν τριτάτοισι, καὶ † ἔπτατο πνεῦμα πολ
λῷ.
χριστός. Ὃς πρὶν καὶ γαίης τε, καὶ οὐρανοῦ ἀστερόεντος,
Αὐθέντης γένετο λόγῳ πατρὸς, πνεύματί δ᾽ ἁγνῷ.
Σάρκα τε δυσάμενος, ταχὺς ἔπτατο πατρὸς ἐς οἴκους.
Τρεῖς δ᾽ αὐτῷ πύργους μέγας οὐρανὸς ἐστήριξεν,
Ἐν τῷ δὴ ναίουσι θεοῦ νῦν μητέρες ἐσθλαί.
αἱ ἀληθιναὶ Ἐλπίς τ᾽ εὐσεβίη τε τε ποθεινή, σεβασμοσύνη
θυσίαι. Οὐ χρυσῷ χαίρουσα, ἢ ἀργύρῳ, ἀλλὰ σεβάσμοις

Ἀνθρώ-

Porrò tempus erit, cum fatis tota ſiniſtris
Ilias haud nuptum, ſed combibet improba buſtum.
Atq; ibi plorabunt nymphæ miſerabile, quando
Non nouere Deum, ſed ſemper tympana pulſu
Tangere, ſemper eis crepitacula plaudere cura eſt. — In Troianos.

Fata reqre, tibi Colophō grauis imminet ignis, — In Colophonem.
Theſſalia infelix nymphis: non amplius aut te, — In Theſſaliam.
Aut cinerem cernet tellus. nam ſola natabis
A' terra fugiens, ô ærumnoſa, relicta.
Et præbebis eis belli uiliſsima ſordem,
Et rapidis fluuijs, & duro diruta ferro.

O miſeranda Corinthe, grauis certamine martis
Circundaberis, & uos mutua uulnera perdent.
τῦρε σύ δ' ἡλίκα λήψη μόνη, ἐυσεβέων γὰρ
ἀνδρῶν χώρης ἐις ὀλίγη φανίησε διοίσει
ἀοςυζῆ κοίλη φοινίκων ὕπατον ἀνδρῶν.
οἷς ἐπερευγομένη κεῖται βάρη * ιας ἅλμη
Non noſti miſeranda tuum, quem proluit olim
In Iordane Deum *
ἐν τριτάτοισι καὶ ἔπλατο πνεῦμα πολλῷ.
Qui prius & terra fuit, & ſtellantibus oris, — Chriſtus.
Factus uoce patris princeps, & flamine ſancto:
Corpus & indutus celer in patris euolat ædes.
At magnum cœlum tres turres condidit illi,
In quo nunc habitant genitrices numinis almæ,
Spes alacris, pietas, & dulcis relligio, quæ
Non auro gaudet, non argento, ſed honeſtis

Cultibus humanis, ſacriſq;, & pectore iuſto.
Vera ſacra. Vt uerò facias magno, æternoq; Tonanti,
Auguſtoq;, ſacrum, non thuris in igne liqueſcet
Mica tibi, nullus cultro mactabitur agnus:
Sed conſanguineo cœtu ſtipante tuorum,
Agreſtes captas in cœlum lumina tendens
Mittes cum precibus uolucres: lymphæq; liquorē
Igni libabis puro, ſic uoce locutus:
Qui te progenuit uerbū caſtis pater undis
Mitto pater, referat properè quæ uerba, uolucrē.
ῥαίνων σὸν βάπτισμα δι᾽ οὗ πυρὸς ἐξεφαάνθης.
Nec portam claudes, ſi quis tibi uenerit hoſpes
Indigus, ut fame ſe defendas, pauperieq;:
Sed caput illius ſumpta conſpergito lympha.
Terq; tuum uenerare Deum, ſic uoce profatus:
Non amo diuitias, tenuiſq; aliquando uiciſsim
Accepi tenuem, pater accipe uota ſecundus.
εὐξαμένῳ δώσει σοι, ἀπήγαγεν ἐκ τότε δ᾽ ἀνήρ,
μὴ θλίψεις με θεοῦ ἱερὸν σέβας. ἐκ δὲ δίκαιον
ἀγνὸν ἀδούλωτον περὶ γένναν ἐλεχθέν *
Confirma miſerum mihi cor pater, intueor te,
Inuiolatum te quem non fecit manus ulla.
In Sardo. Sardo nunc grauis in cineres cōuerſa iacebis,
Inſula iam nec eris, decados cum uenerit æuum.
Nautaq; te nuſquam exiſtentem quæret in undis,
Alcyoneſq; tuum flebunt lachrymabile funus.
In Mygdonien. Aſpera Mygdonie, ſpecula inſuperata profundi,

Ἀνθρώπων, θυσίαις τε, δικαιοτάτων τε λογισμοῖς.
Θύσεις δ' ἀθανάτῳ † θεῷ, μεγάλῳ, ἀγεράχῳ. f. μεγάλῳ θεῷ, ἠδ' ἀγεράχῳ.
Οὐ χόνδρον τήξας λιβάνου πυρὶ, οὐδὲ μαχαίρῃ
Ἀρνειὸν κόψεις λασιότριχα, ἀλλ' ἅμα πᾶσιν
Οἳ τεὸν αἷμα φέρουσι λαβὼν ἀγρίην πετεινὰ,
Εὐξάμενος πέμψεις, εἰς οὐρανὸν ὄμματα τείνας.
Ὕδωρ δὲ σπείσεις καθαρῷ πυρὶ τοῖα βοήσας·
Ὥς σε λόγον γέννησε πατὴρ, πάτερ ὄρνιν ἀφῆκα,
Ὀξὺν ἀπαγγελτῆρα λόγων, λόγον ὕδασιν ἁγνοῖς,
Ῥαίνων σὸν βάπτισμα, δι' οὗ πυρὸς ἐξεφαάνθης.
Οὐδὲ θύρην κλείσῃς, ὅτε τίς σοι ἐπήλυδος ἄλλος
Ἥξει δυόμενος, πενίης ἐπδρυνομέναι λιμῷ.
Ἀλλὰ λαβὼν κεφαλὴν τοῦ δ' ἀνέρος ὕδατι ῥάνας,
Εὖξαι τρὶς, τῷ σῷ δὲ θεῷ μάλα τοῖα βόησον.
Οὐκ ἔραμαι πλούτου, λιτὸς ποτὲ λιτὸν ἐδέγμην
Ἀμφαδὸς. οὐ πάτερ † συγχωρηγητὴρ ἐπάκουσον. f. χωρηγητήρ.
Εὐξαμένῳ δώσει σοι, ἀπήγαγεν ἐκ τότε δ' ἀνήρ.
Μὴ θλίψεις με θεοῦ ἱερὸν σέβας, ἐκ δὲ δίκαιον
Ἁγνὸν ἀδούλωτον περὶ γένναν ἐλεχθέν.*
Τλήμονά μου κραδίην σῆσον πάτερ, ἐς σε δέδορκα
Εἰς σὲ τὸν ἄχραντον, τὸν μὴ χέρες ὠργάσαντο.
Σαρδὼ νῦν σὺ βαρεῖα † μεταλλάξει ἐς τέφρην. al. μεταλλάξῃ. κατὰ Σαρδοῦς.
Ἔσσῃ δ' οὐκέτι νῆσος, ὅταν δεκάδος χρόνος ἔλθῃ.
Ζητήσουσι πλέοντες ἐν ὕδασιν οὐκ ἔτ' ἐοῦσαν.
Ἀλκυόνες δ' ἐπὶ σοὶ οἰκτρὸν γόον ἀΐξουσιν.
Μυγδονίη τρηχεῖα, δυσέμβατε πυρσὲ θαλάσσης, κατὰ Μυγδονίας.

Αὐχήσεις αἰῶνα, καὶ αἰώνων ἀπολεῖ σε (λοῖς.
Θερμῷ πνεύματι πᾶσα, μανήσῃ δ' ἄλγεσι πολ-
κατὰ κελτι-γυᾶς. Κελτιγυὴ τὸ δὲ σὸν κατ' ὄρος, παρὰ δύσβατον ἄλπην
Ψάμμος † ὅλη χώσῃ σε βαθὺς, φόρον οὐκέτι δώσεις,
f. ὅλην. Οὐ στάχυν, οὐ βοτάνας. πανέρημος ἔσῃ δ' ἀπὸ λαῶν
Αἰεὶ, κρυμαλέοις δὲ παχνωομένη κρυστάλλοις,
Λώβην ἐκτίσεις, ἣν οὐκ ἐνόησας ἄναγνε.

κατὰ Ῥώ-μης. Ῥώμη καρτερόθυμε, μακεδονίην μετὰ λόγχην
Ἀστράψεις ἐς ὄλυμπον. θεὸς δέ σε πάμπαν ἄπυστον
Ποιήσει, ὁπόταν δοκέεις πολὺ κρεῖσσον ἐς ὄμμα
Ἑδραίη μίμνειν. τότε σοι τοιαῦτα βοήσω, (σε.
f. μαρμα-ρέοντε. Ὀλλυμένη φθέγξῃ λαμπρόν ποτε, † καὶ μαρμαίραν
Δεύτερά σοι ῥώμη μέλλω πάλι δεύτερα φωνεῖν.

Ἄρτι δέ σοι συέλη τλῆμον κατοδύρομαι οἰκτρῶς
al. ὑπέστη. Θῆβαι δύσβουλοι ὑμῖν κακὸς ἦχος † ἐπέστη,
Αὐλῶν φθεγγομένων. ὑμῖν σάλπιγξ κακὸν ἦχον
Ἠχήσει, ὄψεσθε δ' ἀπολλυμένην χθόνα πᾶσαν.
Αἶ, αἶ σοι τλῆμον, αἶ αἶ κακόθυμε θάλασσα.
Βρωθήσῃ πυρὶ πᾶσα, καὶ ἐξολέσῃς λαὸν ἅλμῃ.
Ἔσται γάρ τε τοσοῦτον ἐπὶ χθονὶ μαινόμενον πῦρ,
Ὅσσον ὕδωρ ῥεύσει, καὶ ἐξολέσει χθόνα πᾶσαν.
Φλέξει ὄρη, καύσει ποταμοὺς, πηγὰς δὲ κενώσει.
46 Ἔσται κόσμος ἄκοσμος, ἀπολλυμένων ἀνθρώπων.
Καιόμενοι δὲ κακῶς, τότε τλήμονες ἐμβλέψουσιν
Οὐρανὸν οὐκ ἄστροις, ἀλλ' ἐν πυρὶ κεκμηκότα.
Οὐ δὲ θοῶς ὀλέκονται. ἀπολλύμενοι δ' ὑπὸ σαρκῶν,
Πνεύματι καιόμενοι εἰς αἰῶνα ἐνιαυτοὺς.

Αἰεὶ

Omnem per seriem seclorum tota senesces,
Perdita frruenti uento, lymphata dolore.
Gallia, difficiles quæ montibus accolis alpes, In Galliã.
Omnis arenarum cumulis operibere. nec iam
Fruges, aut segetes paries, herbas'ue: sed omni
A' populo deserta, gelu glacieq; rigebis
Aeternùm, culpamq; lues quam perdita nescis.
Roma ferox animi, post fracta Macedonis arma In Romã.
Fulgure perstringes cœlum. sed te Deus omni
Robore priuabit, cum firma uideberis esse
In primis. at tunc tibi talia uociferabor.
Perspicuum periens olim clarumq; sonabis.
Plura quidem dictura tibi sum Roma deinceps.
At nunc te Syria infelix miserabile ploro.
Thebæ inconsultæ, uobis sonus horridus instat
Vocalis litui: uobis sonitum tuba tristem
Emittet, terramq; perire uidebitis omnem.
Eheu infelix, eheu mare perfidiosum,
Omne uorax ignis te perdet: tu sale gentes.
Tantus enim terris insaniet ignis, aquæ uis
Quanta fluit, terram delebit funditùs, uret
Montes, siccabit fontes, fluuiosq; cremabit.
Mundus erit iam non mundus, populiq; peribunt,
Heu miseri ardentes, & cœlum suspicientes,
Cœlum non astris rutilum, sed ab igne laborans.
At non perdentur subitò: sed corpora sensim
Tabescent, animi totos urentur in annos.

αἰεὶ δυσβασάνιστα θεοῦ νόμον ἐξελήσουσι.
οὐκ ἀπαφήτον ἐόντα. βιαζομένη δ' ἄρα γαῖα
ὅντινα τολμήσασα θεὸν ἐπεδέξατο βωμοὺς
ψευδομένη, καπνὸν δὲ δι' αἰθέρος ἄλγεα θεῦτα.
In primis autem angentur, qui nomine lucri
Turpia prædicent, augentes tempus acerbum.
Hebræi sanè sciderint cum tergus ouile,
Mendaces referent, quæ non sunt dicere iussi:
Verba quidem dantes, facientes lucra dolorum.
Qui mores uertent, nec iusti pellicientur,
Quiq; Deum planè sincero pectore placant.
Tertia sed cum sors uertentes duxerit annos,
Octauo primo mundus spectabitur alter,
Nox incredibili caligine longa manebit.
Tunc exhalabit teterrima sulphuris aura,
Nūcia cladis: eis fame dehinc, & nocte peremptis.
Vltimi temporis felicitas. Tunc hominum gignet puras in pectore mentes,
Restituetq; genus, fuit ut tibi tempore prisco.
Iam nullus sulcos curuo proscindet aratro,
Terra nec à bubus ferrò scindetur acuto.
Nec spicæ, nec erunt sarmenta, sed omnibus una
Roscida manna simul mandetur dentibus albis.
Nec Deus absuerit illis, qui cuncta docebit,
Vt sceleratam me.nam quæ scelera ante patraui
Prudens & studio peccandi perdita feci.
Mille mihi lecti, connubia nulla fuerunt,
Iureq; iurando quosuis periura ligaui.

Exclusi

Αἰεὶ δυσβασάνιστα θεοῦ νόμον εἰδήσουσιν,
Οὐκ ἀπάφητον ἐόντα. βιαζομένη δ' ἄρα γαῖα,
Ὅντινα τολμήσασα θεὸν † ἐπεδέξατο βωμοὺς, al. ἐπεδεί-
Ψευδομένη, καπνὸν δὲ δι' αἰθέρος ἄλγεα θεύτα. ξατο.
Κεῖνοι δὲ πλήσονται ἄγαν πόθον, οἱ διὰ κέρδους
Αἰσχρὰ προφητεύσουσι, κακὸν χρόνον ἀλδαίνοντες.
Οἱ μὲν δυσάμενοι προβάτων λασιότριχα ῥίνα,
Ἑβραῖοι ψεύσονται, ὃ μὴ γένος ἔκλαβον αὐτοί.
Ἀλλὰ λόγοις λαλέοντες ἐπ' ἄλγεσι κερδαντῆρες,
Οἱ βίον ἀλλάξουσιν, κοὐ πείσουσι δικαίους.
Οἵ τε θεὸν † πάμπυστα διὰ φρενὸς ἱλάσκονται. ἐσχάτου χρό-
Ἐν δὲ τρίτῳ κλήρῳ περιτελλομένων ἐνιαυτῶν, νου εὐδαι-
Ὀγδοάτης πρώτης ἄλλος πάλι κόσμος ὁρᾶται. μονία.
Νὺξ ἔσται πάντη μακρὴ καὶ ἀπειθής. * al. πάμπι-
Καὶ τότε μὲν θείου δεινὴ περιβήσεται ὀδμὴ, στα.
Ἀγγέλλουσα φόνους, ὁπόταν κεῖνοι ἀπόλωνται 47
Νυκτί τε καὶ λιμῷ, τότε γεννήσει καθαρὸν νοῦν
Ἀνθρώπων, στήσει † δέ τε γένος, ὡς πάρος ἦν σοι. f. δὲ γένος
Οὐκ ἔτι τίς κόψει βαθὺν αὔλακα γυρῷ ἀρότρῳ, τὸ σὸν ὡς.
Οὐ βόες ἰθυντῆρα κάτω βάψουσι σίδηρον.
Κλήματα δ' οὐκ ἔστ' οὐδὲ στάχυες, ἀλλ' ἅμα πάντες
Μάνναν τὴν δροσερὴν λευκοῖς ὑπ' ὀδοῦσι φάγονται.
Σὺν δ' αὐτοῖς ἔσται τότε καὶ † θεὸς, ὥς τε διδάξει f. θεὸς ὅς τε.
Ὡς ἐμὲ τὴν λυγρήν. ὅσα γὰρ κακὰ πρόσθεν ἔρεξα,
Εἰδυῖα, ἄλλα τε πολλὰ κακῶς ἐπόνησ' ἀμελοῦσα,
Μυρία μὲν μοι λέκτρα, γάμος δ' οὐδεὶς ἐμελήθη.
Πᾶσι δ' ἐγὼ πανάπυστος ἐπήγαγον ἄγριον ὅρκον.

Δευο-

f. Δουομέ- † Δουομένης ἀπέκλυσα, καὶ ἐν προμολοῦσιν ἰοῦσα,
νους ἀπέ- Ιηελον εἰς αὐλῶνα, θεοῦ φάτιν οὐκ ἐνόησα. (τῇ
κλεισα. Τοὔνεκα πῦρ μ' ἔφαγεν, καὶ † βρώσεως. οὐδὲ γὰρ αὖ
f. βρώσιες. Ζήσομαι, ἀλλ' ὀλέσει με κακὸς χρόνος, ἔνθα τάφον
Ἄνθρωποι τεύξουσι, ἐπανερχόμενοί με θαλάσσῃ, (μοι
Καί με λίθοις ὀλέσουσιν, ἐπὶ μοι γὰρ πατρὶ λαλοῦσα
Υἱὰ φίλον μετέδωκε. βάλοιτέ με βάλλετε πάντες.
Οὕτω γὰρ ζήσω, καὶ ἐς οὐρανὸν ὄμματα πήξω.

## ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

Ερχομένης μεγάλης ὀργῆς ἐπὶ κό-
σμον ἀπειθῆ, (τα φαίνω,
ἔσχατον † Ὕστατον εἰς αἰῶνα θεοῦ μήνιμα-
Lact. Γᾶσι † προφητεύουσα κατὰ πτόλιν
προφητεύ- ἀνθρώποισιν.
σασα, Lact. Ἐξ ὅτε δὴ πύργος τ' ἔπεσε, γλῶσσαι τ' ἀνθρώπων
Εἰς πολλὰς θνητῶν ἐμερίσθησαν διαλέκτους·
Γρῶτα μὲν αἰγύπτου βασιλήιον, εἶτα τὸ περσῶν,
Μήδων, αἰθιόπων τε, καὶ ἀσσυρίης βαβυλῶνος,
Εἶτα μακηδονίης τύφον μέγαν αὐδήσασα,
Γέμπτον εἰς ἰταλῶν κλεινὴν βασιλείαν ἄθεσμον
ἰταλικὴ ἀρ- Ὑστάτιον πᾶσιν δείξει κακὰ πολλὰ βροτοῖσι,
χή. Καὶ πάσης γαίης ἀνδρῶν μόχθους δαπανήσει.
Ἄξει δ' ἀκμητοὺς βασιλεῖς ἐθνῶν ἐπὶ δυσμάς,
Καὶ δεσμοὺς θήσει λαοῖς, καὶ πάνθ' ὑποτάξει,
Ὀψὲ θεοῦ μῦλοι ἀλέουσι τὸ λεπτὸν ἄλευρον.
Γῦρ τότε πάντ' ὀλέσει, καὶ λεπτὸν χνοῦν ἀπολώσει.
Ὑψικόμων ὀρέων κορυφὰς καὶ σαρκὸς ἁπάσης,